A ‘Φράζε, τίνος γονέως, σέο τ'οὔνομα καὶ πόσιν αὔδ[α],
καὶ χρόνον εἰπέ, γί(γυ)ναι, καὶ πόλεως ὅθεν εἶ.’ —
B Νείκανδρος γεν[έ]τωρ, πατρὶς Πάρος, οὔνομα δὲ ἦν μοι
Σωκράτεα, φθιμένην Παρμενίων δὲ ἔθετο
σύλ[ε]κτρος τύμβῳ με, χάριν δέ μοι ὤπασε τήνδε
εὐδόξου ζωᾶς μνῆμα καὶ ἐσσομένοις·
καὶ μ[ε] πικρὰν νεαροῖο βρέφους ἀφύλακτος Ἐρεινὺς
αἱμορύτοιο νόσωι τερπὸν ἔλυσε βίον·
οὔθ' ὑπ' ἐμαῖς ὠδεῖσι τὸ νήπιον εἰς φάος ἦγον,
ἀλλ' ὑπὸ γαστρὶ φίλαι κεύθεται ἐμ φθιμένοις·
τρισσᾶς ἐκ δεκάδος δὲ πρὸς ἓξ ἐτέων χρόνον ἦλθον
ἀνδρὶ λιποῦσα τέκνων ἀρσενόπαιδα γονάν·
δισσὰ δὲ πατρὶ λιποῦσα καὶ ἱμερτᾶι [σ]υνομεύναι
αὐτὰ ὑπὸ τριτάτωι τόνδε λέλονχα τόπον. ⁝
A ‘'Αλλὰ σύ, παμβασίληα θεά, πολυώνυμε κούρα,
τήνδε ἄγε ἐπ' εὐσεβέων χῶρον ἔχουσα χερός. ⁝
B Τοῖς δέ παρερχομένοισι θεὸς τέρψω τινὰ δῴη
εἴπασι χαίρειν Σωκράτεαν κατὰ γῆς.

Διονύσιος Μάγιης ποιητὴς ἔγραψεν.